μισῶν δὲ μητέρ᾽ ἐνδίκως ἀπώλεσα,
ἥτις μεθ᾽ ὅπλων ἄνδρ᾽ ἀπόντ᾽ ἐκ δωμάτων
πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτην
προύδωκε κοὐκ ἔσῳσ᾽ ἀκήρατον λέχος·
ἐπεὶ δ᾽ ἁμαρτοῦσ᾽ ᾔσθετ᾽, οὐχ αὑτῇ δίκην
ἐπέθηκεν, ἀλλ᾽, ὡς μὴ δίκην δοίη πόσει,
ἐζημίωσε πατέρα κἀπέκτειν᾽ ἐμόν.
πρὸς θεῶν· ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,
φόνον δικάζων· εἰ δὲ δὴ τὰ μητέρος
σιγῶν ἐπῄνουν, τί μ᾽ ἂν ἔδρασ᾽ ὁ κατθανών;
οὐκ ἄν με μισῶν ἀνεχόρευ᾽ Ἐρινύσιν;
ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαί,
τῷ δ᾽ οὐ πάρεισι, μᾶλλον ἠδικημένῳ;
σύ τοι φυτεύσας θυγατέρ᾽, ὦ γέρον, κακὴν
ἀπώλεσάς με· διὰ τὸ γὰρ κείνης θράσος
πατρὸς στερηθείς, ἐγενόμην μητροκτόνος.
ὁρᾷς Ὀδυσσέως ἄλοχον· οὐ κατέκτανε
Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,
μένει δ᾽ ἐν οἴκοις ὑγιὲς εὐναστήριον.
ὁρᾷς, Ἀπόλλων ὃς μεσομφάλους ἕδρας
ναίων βροτοῖσι στόμα νέμει σαφέστατον,
ᾧ πειθόμεσθα πάνθ᾽ ὅσ᾽ ἂν κεῖνος λέγῃ,
τούτῳ πιθόμενος τὴν τεκοῦσαν ἔκτανον.
ἐκεῖνον ἡγεῖσθ᾽ ἀνόσιον καὶ κτείνετε·
ἐκεῖνος ἥμαρτ᾽, οὐκ ἐγώ. τί χρῆν με δρᾶν;
ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
μίασμα λῦσαι; ποῖ τις οὖν ἔτ᾽ ἂν φύγοι,
εἰ μὴ ὁ κελεύσας ῥύσεταί με μὴ θανεῖν;
ἀλλ᾽ ὡς μὲν οὐκ εὖ μὴ λέγ᾽ εἴργασται τάδε,
ἡμῖν δὲ τοῖς δράσασιν οὐκ εὐδαιμόνως.
γάμοι δ᾽ ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν,

582. ἐριννύσιν BF 586. διὰ τὸ γάρ B διὰ γὰρ τό ceteri. 591. ὁρᾷς δ᾽ c C cum Justino. 592. ναίει — νέμων σαφέστατα Clemens. 594. πειθόμενος fere libri. 596. χρῆ με vel χρή με libri. 598. πῆ C φύγῃ C 602. ὅσοι C